## XVII

τοῦθ᾽ ὅ τί μοι λοιπὸν ψυχῆς, ὅ τι δήποτ᾽, Ἔρωτες,
τοῦτό γ᾽ ἔχειν πρὸς θεῶν ἡσυχίην ἄφετε,
ἢ μὴ †καὶ τόξοις† βάλλετέ μ᾽, ἀλλὰ κεραυνοῖς,
καὶ πάντως τέφρην θέσθε με κἀνθρακιήν.
ναὶ ναὶ βάλλετ᾽, Ἔρωτες, ἐνεσκληκὼς γὰρ ἀνίαις
ἐξ ὑμέων †τούτων εἰτετι† βούλομ᾽ ἔχειν.

## XVIII

οἶνος ἔρωτος ἔλεγχος· ἐρᾶν ἀρνεύμενον ἡμῖν
ἤτασαν αἱ πολλαὶ Νικαγόρην προπόσεις·
καὶ γὰρ ἐδάκρυσεν καὶ ἐνύστασε καί τι κατηφές
ἔβλεπε, χὠ σφιγχθεὶς οὐκ ἔμενε στέφανος.

## XIX

πρόσθε μοι Ἀρχεάδης ἐθλίβετο, νῦν δέ, τάλαινα,
οὐδ᾽ ὅσσον παίζων εἰς ἔμ᾽ ἐπιστρέφεται.
οὐδ᾽ ὁ μελιχρὸς Ἔρως αἰεὶ γλυκύς, ἀλλ᾽ ἀνιήσας
πολλάκις ἡδίων γίνετ᾽ ἐρῶσι θεός.

## XX

Δόρκιον ἡ φιλέφηβος ἐπίσταται ὡς ἁπαλὸς παῖς
ἕσθαι πανδήμου Κύπριδος ὠκὺ βέλος,